τοὺς Δράκοντος νόμους περιελὼν πλὴν τῶν φονικῶν. Τεσσαρα-
κοστῇ ἐννάτῃ ὀλυμπιάδι, Ἰουδαίων ὄντων ἐν Βαϐυλῶνι, ἤτοι
ἐν ὄρεσι Περσῶν καὶ Μήδων (γεγόνασι γὰρ αἰχμάλωτοι),
προεφήτευον παρ' αὐτοῖς Δανιὴλ καὶ Ἰεζεκιήλ. Πεντηκοστῇ
ὀλυμπιάδι ἐγνωρίσθησαν οἱ ἑπτὰ σοφοὶ καὶ ὁ Μιλήσιος Ἀναξί-
μανδρος, φιλόσοφος φυσικός. Πεντηκοστῇ ἕκτῃ ὀλυμπιάδι,
B Κύρου διέποντος τὰ κράτη Περσῶν, προεφή|τευον Ἀγγαῖος
καὶ Ζαχαρίας, γνώριμοι δὲ ἦσαν ἤδη Σιμωνίδης καὶ Χίλων,
τῶν ἑπτὰ σοφῶν ὄντες. Πεντηκοστῇ ὀγδόῃ ὀλυμπιάδι
Θέογνις ποιητὴς ὠνομάζετο. Πεντηκοστῇ ἐννάτῃ ὀλυμπιάδι
Ἴϐυκὸς ὁ μελοποιὸς καὶ Φερεκύδης ὁ ἱστοριογράφος καὶ
Φωκυλίδης καὶ Ξενοφάνης, τραγῳδιῶν ποιηταί, γεγόνασι.
Ἑξηκοστῇ δευτέρᾳ ὀλυμπιάδι Πυθαγόρας γενέσθαι λέγεται.
Ἑϐδομηκοστῇ ὀλυμπιάδι φασὶ γενέσθαι Δημόκριτον καὶ Ἀνα-
ξαγόραν, φιλοσόφους φυσικούς, ὁμοῦ τε καὶ Ἡράκλειτον τὸν
ἐπίκλην σκοτεινόν. Ἑϐδομηκοστῇ τετάρτῃ Φρύνιχος καὶ Χοι-
ρίλος καὶ Διαγόρας, φιλόσοφοι φυσικοί. Ὀγδοηκοστῇ ἕκτῃ
ὀλυμπιάδι γενέσθαι φασὶ τὸν Ἀϐδηρίτην Δημόκριτον, Ἐμπε-
δοκλέα τε καὶ Ἱπποκράτην, καὶ Πρόδικον, Ζήνωνα καὶ
Παρμενίδην. Ὀγδοηκοστῇ ὀγδόῃ ὀλυμπιάδι τὸν κωμῳδὸν
C Ἀριστο|φάνην, Εὔπολίν τε καὶ Πλάτωνα γενέσθαι φασίν.
Ἑκατοστῇ τρίτῃ ὀλυμπιάδι Ἀριστοτέλην φασὶν ἀκροᾶσθαι
Πλάτωνος, βραχεῖαν ἄγοντα κομιδῇ τὴν ἡλικίαν. Ἑκατοστῇ
δωδεκάτῃ ὀλυμπιάδι Ἀλεξάνδρειαν τὴν πρὸς Αἴγυπτον
κτισθῆναί φασιν, ἔτει ἑϐδόμῳ τῆς Ἀλεξάνδρου βασιλείας·
κατ' ἐκεῖνο δὲ τοῦ καιροῦ Ἀναξιμένης τε καὶ Ἐπίκουρος
ἐγενέσθην οἱ φιλόσοφοι.